www.tezaurliturgic.ro

+

# ΑΚΟΛΟΥΘΙΑ ΤΩΝ ΑΓΙΩΝ ΑΥΓΟΥΣΤΙΝΟΥ, ΕΠΙΣΚΟΠΟΥ ΙΠΠΩΝΟΣ ΚΑΙ ΜΟΝΙΚΗΣ ΤΗΣ ΜΗΤΡΟΣ ΑΥΤΟΥ

(ἑορταζομένων τῇ 15η Ἰουνίου)



**Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος**

* ͵βϚ'* 2006 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ



**ΤΗι ΙΕ΄ ΤΟΥ ΜΗΝΟΣ ΙΟΥΝΙΟΥ ΜΝΗΜΗ ΤΩΝ ΑΓΙΩΝ ΑΥΓΟΥΣΤΙΝΟΥ ΙΠΠΩΝΟΣ & ΜΟΝΙΚΗΣ ΤΗΣ ΜΗΤΡΟΣ ΑΥΤΟΥ**

* * *

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

*Ἱστῶμεν στίχ. Ϛ΄ καὶ ψάλλομεν τὰ ἀκόλουθα προσόμοια.*
*Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

Ὢ βάθος θείας ἀγάπης,
τοῦ Φιλανθρώπου Χριστοῦ!
Ὅστις σωθῆναι θέλει,
τοὺς ἀνθρώπους καὶ ζῆσαι·
διὸ καὶ Αὐγουστῖνον,
πρὸς φῶς ζωῆς,
ἐκ τοῦ σκότους ἐξήγαγε,
καὶ ἐξ ἀσώτου ἀνέδειξε θαυμαστόν,
Ἱεράρχην καὶ Διδάσκαλον.

Ὃν μητρικῇ σου κοιλίᾳ,
υἱὸν ἐβάστασας,
Μόνικα, Αὐγουστῖνον,
αὖθις ὄμβροις δακρύων,
καὶ θείαις προσευχαῖς σου πρὸς τὸν Θεόν,
ἀληθείᾳ ἐγέννησας,
καὶ ἐδωρήσω Ἱππῶνι χριστοπρεπῆ,
ποιμενάρχην καὶ διδάσκαλον.

Τῇ μητρικῇ εὐσεβείᾳ
ἀπὸ παιδὸς συντραφείς,
παμμάκαρ Αὐγουστῖνε,
μετὰ πλείονας χρόνους,
ἀφρόνως ἐν τῇ πλάνῃ διαγαγών,
ἐν τῇ πίστει ἐπέστρεψας,
καὶ τὸν Χριστὸν προτιμήσας τὰς ἡδονάς,
ὥσπερ σκύβαλα κατέλιπες.

Ἰδοὺ καιρὸς μετανοίας,
καὶ σωτηρίας Χριστοῦ,
ἀπόθεσθε τὰ ἔργα,
τοῦ σκοτίου βελίαρ,
καὶ ὅπλα ἐνδυθέντες θείου φωτός,
ἀναγνοὺς συγκεκλόνισαι,
καὶ ἐπιστρέψας ὁ πρώην ἀπολολώς,
Αὐγουστῖνε, μέγας γέγονας.

Φιλοσοφίαν τῆς πλάνης,
ἀπαρνησάμενος,
καὶ τοῦ Σταυροῦ μωρίᾳ,
συναφθείς, Αὐγουστῖνε,
σοφίας ἀνωτάτης τοῦ Ἰησοῦ,
ἀνεδείχθης διδάσκαλος,
ταῖς διδαχαῖς σου στηρίζων χριστιανούς,
καὶ προτρέπων πρὸς μετάνοιαν.

Ἰδοὺ καινά σοι τὰ πάντα,
θεομακάριστε,
ἁμαρτημάτων πλῆθος,
ἐν Χριστῷ καθαρθέντι,
καὶ δείξαντι ἐμπράκτως τὴν ἰσχυράν,
μετανοίας ὑπόθεσιν,
δι᾽ ἧς πολίτας ὁ Κύριος ἐμποιεῖ,
Βασιλείας ἐπιστρέφοντας.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Δόξα. Ἦχος πλ.β΄.*

Ὡς πλοῖον χειμαζόμενον τοῖς κύμασι τῆς πλάνης,
λιμένα εὗρες σωτήριον τὴν Ἐκκλησίαν,
Αὐγουστῖνε μακάριε.
Καὶ τῆς μητρός σου Μονίκης τοῖς δάκρυσι πιανθείς,
ὡς δένδρον πολύκαρπον ἐδείχθης,
τὰς εὐαγγελικὰς ἀρετὰς ὡς ἄριστα ἐργασάμενος.
Ὅθεν τῇ καρδιακῇ μετανοίᾳ τὴν θείαν ἀγάπην συνδυάσας,
ποιμὴν ἁγιώτατος ἐγένου Ἱππῶνος,
καὶ διδάσκαλος θεόσοφος.
Νῦν δὲ τῷ θρόνῳ τῆς μεγαλωσύνης Κυρίου παριστάμενος,
τῶν σὲ τιμώντων πιστῶς καὶ τῆς Μονῆς σου ταύτης,
μνήσθητι φιλότεκνε.

*Καὶ νῦν. Τίς μὴ μακαρίσει σε ἢ τῆς προλαβούσης ἑορτῆς.*

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον. Ἀναγνώσματα.*

*Παροιμιῶν τὸ ἀνάγνωσμα*

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν καὶ θνητός, ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν. Οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρόν· εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτήν. Πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου ἔξοδοι ζωῆς καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες

εὑρήσουσι χάριν καὶ δόξαν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου· οὐδὲν ἐν αὐτοῖς σκολιὸν οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν καὶ πλησθήσεσθε Πνεύματος.

### *Παροιμιῶν τὸ ἀνάγνωσμα*

Στόμα δικαίου ἀποστάζει σοφίαν, γλῶσσα δὲ ἀδίκου ἐξολεῖται. Χείλη ἀνδρῶν ἐπίστανται χάριτας, στόμα δὲ ἀσεβῶν καταστρέφεται. Ζυγοὶ δόλιοι βδέλυγμα ἐνώπιον Κυρίου· στάθμιον δὲ δίκαιον, δεκτὸν αὐτῷ. Οὗ ἂν εἰσέλθῃ ὕβρις, ἐκεῖ καὶ ἀτιμία· στόμα δὲ ταπεινῶν μελετᾷ σοφίαν. Τελειότης εὐθέων ὁδηγήσει αὐτούς καὶ ὑποσκελισμὸς ἀθετούντων προνομεύσει αὐτούς. Οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ· δικαιοσύνη δὲ ῥύσεται ἀπὸ θανάτου. Ἀποθανὼν δίκαιος ἔλιπε μετάμελον· πρόχειρος δὲ γίνεται καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια. Δικαιοσύνη ἀμώμου ὀρθοτομεῖ ὁδούς, ἀσέβεια δὲ περιπίπτει ἀδικίᾳ. Δικαιοσύνη ἀνδρῶν ὀρθῶν ῥύσεται αὐτούς, τῇ δὲ ἀβουλίᾳ ἁλίσκονται παράνομοι. Τελευτήσαντος ἀνδρὸς δικαίου οὐκ ὄλλυται ἐλπίς, τὸ δὲ καύχημα τῶν ἀσεβῶν ὄλλυται. Δίκαιος ἐκ θύρας ἐκδύνει, ἀντ᾽ αὐτοῦ δὲ παραδίδοται ὁ ἀσεβής. Ἐν στόματι ἀσεβῶν παγὶς πολίταις, αἴσθησις δὲ δικαίων εὔοδος. Ἐν ἀγαθοῖς δικαίων κατώρθωται πόλις καὶ ἐν ἀπωλείᾳ ἀσεβῶν ἀγαλλίαμα. Ἐν εὐλογίᾳ εὐθέων ὑψωθήσεται πόλις, στόματι δὲ ἀσεβῶν κατασκαφήσεται. Μυκτηρίζει πολίτας ἐνδεὴς φρενῶν· ἀνὴρ δὲ φρόνιμος ἡσυχίαν ἄγει.

### *Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.*

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος.

Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

*Ψάλλομεν στιχηρὰ ἰδιόμελα*
*Ἦχος α΄.*

Τῷ πλούτῳ τῆς φιλανθρωπίας τοῦ Χριστοῦ καθελκυσθείς,
τὴν πτωχείαν τῶν κοσμικῶν ἡδονῶν ἀπηρνήσω,
Αὐγουστῖνε ἀξιάγαστε·
καὶ τὸ φορτίον τῶν σκοτεινῶν ἔργων ἀπαμφιασάμενος,
τῆς χάριτος τὸν λαμπρόφωτον χιτῶνα ἐνεδύθης·
ὅθεν τῇ Ἐκκλησίᾳ γέγονας κανὼν λαμπρὸς μετανοίας,
καὶ διδάσκαλος θεοφώτιστος,
καθοδηγῶν πρὸς σωτηρίαν τοὺς πόθῳ ἀνευφημοῦντάς σε.

*Ἦχος β΄.*

Τῷ θείῳ Παύλῳ ἀγρευθεὶς ὡς ἰχθὺς θεοδίψαστος,
τοῦ ἀληθινοῦ Ἰχθύος Χριστοῦ τὸν σταυρὸν προετίμησας,
τῆς κοσμικῆς καὶ ταραχώδους φιλοσοφίας·
διὸ τοῦ Πνεύματος ὄργανον εὐφωνότατον,
Αὐγουστῖνε ἀνεδείχθης,
ἐν λόγοις καὶ γραφαῖς οἰκοδομῶν τοὺς πιστούς,
οὓς ταῖς βίβλοις σου πατρικῶς ἐκτρέφων,
στήριξον ἐν ὀρθότητι δογμάτων τε καὶ πράξεων.

Ἦχος γ'.

Ἡ ἐν Χριστῷ κατασπειρομένη ἐπ᾽ ἐλπίδι εὐχή,
τοῖς δάκρυσι καταποτιζομένη,
ἐν καιρῷ ἀθρόον καρποὺς ἐκφέρει σωτηρίας·
τοῦτο γὰρ εἰδυῖα ἡ καλλιμήτηρ Μόνικα,
οὐκ ἐνάρκησεν δεομένη πικρῶς,
ὑπὲρ υἱοῦ μὲν φιλτάτου, ἐν ἀπωλείᾳ δὲ πορευομένου·
ὅθεν ἐν Πνεύματι τοῦτον ἐν τέλει ἀνεγέννησε,
καὶ τὴν Ἐκκλησίαν καταυγάζοντα λαμπρῶς,
Αὐγουστῖνον ἐπίσκοπον ἑώρακε.

Ἦχος δ'.

Τὴν εὐαγγελικὴν πολιτείαν ἐν μετανοίᾳ σταυρικῇ πορευθείς,
τῆς ποθουμένης σοι Πολιτείας τοῦ Θεοῦ,
ἤδη μέτοχος ἐπαξίως γέγονας,
Αὐγουστῖνε ἱερώτατε·
καὶ ἐν ἐξομολογήσει τὸν Φιλάνθρωπον καθικετεύων,
εἴληφας διὰ τοῦ λουτροῦ τῆς ἀνακαινώσεως,
τὸ πλήρωμα τῆς Χάριτος·
διὸ ποιμὴν χριστομίμητος καὶ διδάσκαλος θεοσοφώτατος γεγονώς,
πλήθη ψυχῶν εἰς σωτηρίαν ὡδήγησας,
μεθ᾽ ὧν μνήσθητι Πάτερ φιλότεκνε,
τῶν ὧδε τὴν Μονήν σου οἰκούντων μοναστῶν,
τὴν φλόγα ὑπανάπτων ἡμῖν ἀεὶ τοῦ θείου ἔρωτος.

Δόξα. Ἦχος πλ.α'.

Τῆς φιληδονίας τὸ πικρὸν ποτήριον καταῤῥοφήσας,
καὶ τῆς σκοτονόου φιλοσοφίας τοῖς λαβυρίνθοις περιπλανηθείς,
ὅτε ἐλήλυθεν ὁ καιρὸς τῆς σωτηρίας,
διὰ τοῦ χριστοκαρδίου Παύλου ἠγρεύθης θαυμαστῶς εἰς Χριστόν.
Ὅθεν, Αὐγουστῖνε, εἰς ἄροτρον βαλὼν τὴν χεῖρα,
ὡς ἄριστα σαὐτὸν καὶ τὸν λαὸν τοῦ Θεοῦ ἐγεώργησας,


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ποιμεναρχικῶς ἐπισκοπεύσας τῆς μακαρίας Ἱππῶνος.
Νῦν δὲ μετὰ Μονίκης τῆς σὲ κερδησάσης ἐν δάκρυσι μητρός,
Χριστὸν καθικετεύσατε Ὃν ἠγαπήσατε ἐκ καρδίας,
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Μακαρίζομέν σε ἡ τῆς ἑορτῆς.*

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

*Στιχηρὰ προσόμοια.*
*Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.*

Ὅτε ἁμαρτίας τὸ τραχύ,
καὶ ἡ πλησμονὴ τῶν ἡδέων
σοὶ προεξένησαν,
ἀηδίαν, Ἅγιε, τότε ἐζήτησας,
τοῦ φορτίου ἀπόῤῥιψιν,
τοῦ συνθλίβοντός σε,
καὶ τυχεῖν ἀφέσεως ὧνπερ ἐξήμαρτες·
ὅθεν ὡς ὁ ἄσωτος πάλαι,
τῷ Πατρὶ προσέπεσας λέγων·
ἥμαρτόν σοι, Δέσποτα, συγχώρησον.

*Στίχ. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην...*
Ἔσπειρας ἐν δάκρυσι πολλοῖς,
Μόνικα, υἱοῦ σωτηρίαν,
ἀποστατήσαντος,
καὶ ἐπανεγέννησας,
τοῦτον εὐχαῖς μητρικαῖς·
ἐνδυθεὶς γὰρ βαπτίσματος,
τὴν σῴζουσαν χάριν,
Ἐκκλησίας δέδεικται,
ἀρχιερεὺς θαυμαστός,
δείξας ὅτι οἶδεν ἡ Χάρις,
κρίμασιν γεννᾶν ὑπερλόγοις,
ἐκ τῶν λίθων τέκνα θεοτίμητα.

*Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.*
Πάτερ Αὐγουστῖνε ἱερέ,
τὴν Ἱππῶνα πλήσας θαυμάτων,
καὶ διαθρέψας σοφῶς,
τῇ διδασκαλίᾳ σου,
τῆς Ἐκκλησίας κοινός,
ἀνεδείχθης διδάσκαλος,
Μονῆς δὲ προστάτης,
τῆς ἀνατεθείσης σοι
ἐν τῇ Δωρίδι θερμῶς,
ᾗπερ οὐρανόθεν τὴν χάριν,
δίδου καθ᾽ ἡμέραν καὶ νύκτα,
καὶ ἡμᾶς τὰ τέκνα σου ἐνίσχυε.

*Δόξα. Ἦχος δ΄.*

Φιλοσοφίας τὸ φλήναφον ἀρνησάμενος,
τῆς δυσσεβείας τὴν ἀχλὺν ἐξεμυκτήρισας,
τὸ δυσαχθὲς δὲ φορτίον τῶν ἡδονῶν τῆς ψυχῆς σου ἀποσείσας,
διὰ βαπτίσματος τῷ Κυρίῳ ἀκλινῶς συνετάξω.
Ὅθεν χάριν τῇ χάριτι προστιθέμενος,
τὸν Μαργαρίτην εὗρες τὸν πολύτιμον,
Οὗπερ ἔμπορος σοφώτατος ἀνεδείχθης,
πληθύνας τοῖς ἔργοις καὶ τοῖς λόγοις σου,
τὸ χριστοσφράγιστον ποίμνιον τοῦ Θεοῦ.
Ἐν οὐρανοῖς δὲ παριστάμενος τῷ Κυρίῳ,
πάτερ Αὐγουστῖνε μακαριώτατε,
πρέσβευε, δεόμεθα, ὑπὲρ τῶν πίστει
μετὰ τῆς μητρός Μονίκης γεραιρόντων σε.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Νῦν ἀπολύεις. Τρισάγιον κλπ. Ὅτι σοῦ ἐστιν.*

*Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τῶν δακρύων τοῖς ῥείθροις ἐν Χριστῷ ἀνεγέννησας,
ὃν τὸ πρῴην, Μόνικα, φύσει,
Αὐγουστῖνον ἀπέτεκες·
ὁ πλοῦτος γὰρ τῆς Χάριτος Χριστοῦ,
ἐδείχθη ὑπερμέτρως ἐν αὐτῷ,
καὶ ἀνύψωσεν εἰς θρόνον ἐπισκοπῆς,
Ἱππῶνος ᾗ διέπρεψε.
Δόξα τῷ φιλανθρώπῳ Ἰησοῦ,
ὅτι σωθῆναι ἅπαντας,
θέλει σφοδρῶς ἁμαρτωλούς,
δι᾿ οὓς σάρκα προσείληφε.

*Ἕτερον, εἰδικόν. Ἦχος γ'. Θείας πίστεως.*

Θεία Μόνικα καὶ Αὐγουστῖνε,
ἱερώτατε ποιμὴν Ἱππῶνος,
τὸν γλυκύτατον Χριστὸν ἱκετεύσατε,
ὅπως Μονὴν ὑμῶν σκέπῃ ἀείποτε,
καὶ ἐνισχύῃ ἡμᾶς  πρὸς τὴν ἄσκησιν,
ἵνα ἅπαντες,
Παράδεισον θεῖον εὕρωμεν,
καὶ ἴδωμεν Αὐτοῦ ὄψιν τὴν πάγκαλλον.

*Θεοτοκίον, Σὲ τὴν μεσιτεύσασαν ἢ τῆς προλαβούσης ἑορτῆς.*



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Εἰς τὴν α΄ στιχολογίαν. Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου, Σωτήρ.*

Χριστοῦ καταυγασθείς,
τῷ φωτὶ Αὐγουστῖνε,
ὡς σκύβαλα εὐθύς,
ἀπηρνήσω τὸν κόσμον,
καὶ πάσῃ δυνάμει σου,
σεαυτὸν ἀπεκάθηρας·
ὅθεν εἴληφας τοῦ Παρακλήτου τὴν χάριν,
καὶ ὡδήγησας,
ἐν ταῖς γραφαῖς καὶ τοῖς λόγοις,
πολλοὺς εἰς μετάνοιαν.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Εἰς τὴν β΄ στιχολογίαν. Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Δένδρον πολύκαρπον,
ἐφάνης, Ἅγιε,
μητρὸς τοῖς δάκρυσι,
βλαστήσας ἄριστα,
τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ,
διδάγματα, Αὐγουστῖνε,
καὶ ποιμὴν γενόμενος.
τῆς Ἱππῶνος θεόσοφος,
τύπος ἀναδέδειξαι,
μετανοίας τοῖς πίπτουσι,
καὶ πάλιν ὀρθουμένοις ἐκ βόθρου,
τῆς ἁμαρτίας θείᾳ Χάριτι.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Αὐγουστῖνε ἅγιε,
σὺν τῇ Μονίκῃ,
τὴν Μονὴν σκεπάσατε,
ἥτις τιμᾷ πανευλαβῶς,
μνήμην ὑμῶν τὴν χαρμόσυνον,
καὶ τὴν ἀγάπην,
Χριστοῦ ἡμῖν δίδοτε.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Οἱ Ἀναβαθμοί·* τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου. Ἐκ νεότητος μου.
*Προκείμενον·* Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.
*Στίχος·* *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.*
*Εὐαγγέλιον*, τὸ ἱεραρχικόν, τοῦ Ὄρθρου τῆς ιγ' Νοεμβρίου.
*Ὁ Ν'.* Ἐλέησόν με ὁ Θεός....
*Δόξα.* Ταῖς τῶν σῶν Ἁγίων.
*Καὶ νῦν.* Ταῖς τῆς Θεοτόκου.

*καὶ τὸ ἰδιόμελον. Ἦχος πλ.β'.*
*Στίχ. Ἐλέησόν με ὁ Θεός....*

Τοῦ εὐπροσδέκτου καιροῦ τῆς μετανοίας τὴν κλῆσιν ἀποδεχθείς, ἐκ σκότους ἀγνωσίας εἰς φῶς τοῦ Χριστοῦ, Αὐγουστῖνε, μετεβιβάσθης. Καὶ τῶν ἀκτίστων ἐπιλάμψεων τῆς Χάριτος καταυγασθείς, γέγονας διδάσκαλος αἰώνιος μετανοίας, καὶ Ἐκκλησίας ἱεράρχης θεοφώτιστος. Ὅθεν τὴν μνήμην σου σήμερον χρεωστικῶς τιμῶντας, μνήσθητι δεόμεθα ταῖς πρὸς τον Φιλάνθρωπον εὐχαῖς σου, ἅγιε.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου...κλπ.*
*Οἱ Κανόνες· πρῶτον ψάλλομεν τῆς ἑορτῆς καὶ εἶτα τὸν ἀκόλουθον τῶν Ἁγίων, οὗ ἡ ἀκροστιχίς:*
**"Μόνικαν Αὐγουστῖνόν τε κοινῶς ὑμνήσω. Ἀ(θανάσιος)".**
*Ὠιδὴ α'. Ἦχος πλ.δ'. Ἁρματηλάτην φαραώ.*

Μακαριότητι φαιδρῶς τερπόμενοι,
ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ,
πάτερ Αὐγουστῖνε,
καὶ ἁγία Μόνικα,
ᾠδὰς ἡμῶν προσδέξασθε,
καὶ πλουσίαν τὴν χάριν,
ἐξ οὐρανοῦ καταπέμψατε,
ἁγιαστικὴν θείου Πνεύματος.

Οὐ τῶν ἀσόφων φιλοσόφων Ἅγιε,
κενὰ ληρήματα,
οὐδὲ τὰ θολώδη,
ὕδατα αἱρέσεων,
ψυχήν σου ἐπανέπαυσαν,
ἕως οὗ θεῖος Παῦλος,
ἐπιστολῶν τῇ σαγήνῃ σε,
ὡς ἰχθὺν Χριστῷ ἀνιμήσατο.

Νικᾷ τὴν φύσιν τῶν πραγμάτων ἄριστα,
ἡ μεμιγμένη εὐχή,
δάκρυσι καρδίας,
ὡς ἐν σοὶ τετέλεσται,
ψυχῆς ἡ ἀναγέννησις,
Αὐγουστῖνε, μητρός σου,
ἱκετευούσης ἐν δάκρυσι,
ἡμερονυκτίως τὸν Κύριον.

*Θεοτοκίον*

Ἱλαρωτάτῃ διανοίᾳ ἔρχομαι,
πρὸς σέ, Πανάχραντε,
καὶ αἰτοῦμαι πρέσβιν,
πρὸς Χριστὸν γενέσθαί μου·
πληθὺς γὰρ ἀπειράριθμος,
ψυχικῶν μου σφαλμάτων,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τὴν παῤῥησίαν δεήσεως,
ὡς ἀκρὶς τὸν χόρτον ἠφάνισε.

*Ὠιδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Κεκμηκὼς ἐκ τοῦ βάρους,
τῶν σφαλερῶν πράξεων,
ἦλθες μετανοίας εἰς ὕψος,
τῇ θείᾳ χάριτι,
καὶ ἀναγέννησιν,
διὰ βαπτίσματος εὗρες,
Αὐγουστῖνε πάνσοφε,
Χριστῷ ἑνούμενος.

Ἃ ἐδίωκες πρῴην,
ἀπατηλὰ ὕστερον,
σοὶ ἐξετιμήθησαν, Πάτερ,
ὡς παρερχόμενα,
καὶ μὴ δυνάμενα,
ψυχῆς πληρῶσαι τοὺς πόθους,
ἥτις ἀναπέπαυται,
Χριστὸν πλουτήσασα.

Νοῦς καινός σοι ἐδόθη,
ἐξ αὐγασμοῦ χάριτος,
ὅθεν, Αὐγουστῖνε, καινά σοι,
καὶ τὰ βιώματα,
ἅπερ ἀπέτεκεν,
ἡ ἐνσυνείδητος σχέσις,
μετὰ τῆς Θεότητος,
ἥνπερ ἐπέδειξας.

*Θεοτοκίον*

Ἀρχαγγέλων ἡ δόξα,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

καὶ τῶν πιστῶν στήριγμα,
οὖσα, Θεοτόκε Παρθένε,
σκέπε τοὺς δούλους σου,
χεῖρας ἐκτείνουσα,
ἱκετικὰς πρὸς Δεσπότην,
καὶ καταβιβάζουσα,
τὸ θεῖον ἔλεος.

*Κάθισμα. Ἦχος πλ.α'. Τὸν συνάναρχον Λόγον.*

Αὐγουστῖνε δακρύων υἱὸς ὠνόμασαι,
τῆς μητρός σου Μονίκης,
ἐκδυσωπούσης Χριστόν,
ὅπως φῶς τὸ τῆς ζωῆς,
σοῦ τῆς ψυχῆς τὸ ὀπτικόν,
καταφωτίσῃ δαψιλῶς,
καὶ μετανοίας τὴν ὁδόν,
χαρίσηται φιλανθρώπως,
ἣν συνεπείᾳ βαδίσας,
ποιμὴν ἐφάνης Ἱππῶνος πάνσοφος.

*Δόξα. καὶ νῦν. Τῆς ἑορτῆς.*

*Ὠιδὴ δ'. Σύ μου ἰσχύς, Κύριε.*

Ὕλης αἰσχρὸν ὄργανον,
πρῴην γενόμενος,
εἶτα ὤφθης,
Αὐγουστῖνε, τέμενος τῶν ἀρετῶν, ,
λόγους τοῦ σοφοῦ,
Ἀμβροσίου ὅτε,
αὐτοῦ διδάσκοντος ἤκουσας,
καὶ πᾶσαν ἀποῤῥίψας,
ματαιότητα κόσμου,
ἐν καινότητι βίου ἐβάδισας.

Γνοὺς τὸν Χριστόν, Ἅγιε,
εὐθὺς ἐμίσησας,
γνῶσιν κόσμου,
πρὸς ἣν ἐκοπίασας καὶ ἐμπλησθείς,
Πνεύματος Θεοῦ,
πέλαγος ἐγένου,
τῶν δωρεῶν δι᾿ ὧν ἔθρεψας,
τὰ τέκνα Ἐκκλησίας,
ὡς ποιμὴν χριστοφόρος,
Αὐγουστῖνε Ἱππῶνος ἐπίσκοπε.

Ὄγκον βαρὺν ἔφυγες,
ματαίας γνώσεως,
προτιμήσας,
τοῦ Σταυροῦ τὸ κήρυγμα ᾧ βασισθείς,
δέδειξαι λαμπρός,
τῶν Χριστοῦ δογμάτων,
μύστης καὶ θεῖος διδάσκαλος,
ποτίζων Ἐκκλησίας,
θεοδίψαστα τέκνα,
Αὐγουστῖνε, σοφοῖς σου διδάγμασι.

*Θεοτοκίον*

Ὑπὲρ τὸν νοῦν πέφυκε,
τῆς παρθενίας σου ,
Θεοτόκε,
ἄφραστον μυστήριον
πῶς γὰρ ἁγνὴ τέτοκας Υἱόν,
καὶ πῶς διαμένεις
αὖθις παρθένος πανάσπιλε;
ὅθεν σὲ δυσωποῦμεν,
καὶ ἡμᾶς παρθενίας,
τὸν ζυγὸν δεξαμένους ἐνίσχυσον.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ὠιδὴ ε΄. Ἱνατί με ἀπώσω.*

Σοῦ εἰδὼς τὴν καρδίαν,
ὁ ἐτάζων ἀνθρώπων καρδίας, Ἅγιε,
ἐκ βυθοῦ ἀπάτης,
σὲ ἀνείλκυσε καὶ ἀνεγέννησε,
διὰ Ἀμβροσίου,
Μεδιολάνων ποιμενάρχου,
καὶ φωτὶ θείας γνώσεως ἔπλησε.

Τὸν υἱὸν ἀνομίας,
Βασιλείας Χριστοῦ τέκνον ἔδειξας,
πάτερ Αὐγουστῖνε,
ἐπιστρέψας καλῶς ὅθεν ἔφυγες,
τοῦ Εὐαγγελίου,
μαθὼν τὴν δύναμιν ὁπόση,
ἐπιστρέφειν ψυχὰς ἐκ ζοφώσεως.

Ἵνα πλήρης ἀγάπης,
καὶ ἐλέους ὑπάρξης, ποιμὴν μακάριε,
ὁ Χριστὸς ἀφῆκεν,
ἐμπεσεῖν σε βυθῷ παραπτώσεων,
ἔνθεν διὰ πείρας,
φιλοψυχότατος ἐδείχθης,
συμπαθῶν τοὺς Θεῷ ἁμαρτάνοντας.

*Θεοτοκίον*

Νοῦν μου δεῖξον Παρθένε,
τοῦ Υἱοῦ σου τερπνότατον εὐναστήριον,
δῶρόν μοι διδοῦσα,
ἀδιάλειπτον μνήμην Ὀνόματος,
Τούτου δι᾽ οὗ πᾶσα,
ψυχὴ εὐφραίνεται καὶ πόθῳ,
Βασιλείας ἐντεῦθεν προγεύεται.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## Ὠιδὴ Ϛ΄. Ἱλάσθητί μοι, Σωτήρ.

Ὁ νοῦς σου φωτοειδής,
καθρέπτης, Πάτερ, ἐγένετο,
σοφίαν ἀντανακλῶν,
φωτίζοντος Λόγου σε,
διὸ ὅσα γέγραφας,
ἐμφανῶς τὴν Χάριν,
τοῖς ἐγκύπτουσι χαρίζονται.
Νικήσας τὸν πειρασμόν,
τῆς κατὰ κόσμον πορείας σου,
σταυροῦ τὸν ζωοποιόν,
ζυγὸν προετίμησας,
Αὐγουστῖνε πάνσοφε,
ὅθεν ἐνεπλήσθης,
γλυκασμοῦ τοῦ τῆς νεκρώσεως.

Ταπείνωσιν διαρκῆ,
ἐν τῇ καρδίᾳ ἐφύλαξας,
πταισμάτων τῶν πρὸ Χριστοῦ,
ἀεὶ μιμνησκόμενος,
ἐξ ἧς ἐθησαύρισας,
ἄσυλον τὸν πλοῦτον,
Αὐγουστῖνε, τῆς θεώσεως.

### Θεοτοκίον

Ἐν πάσῃ μου τῇ ζωῇ,
γενοῦ προστάτις καὶ πρόμαχος,
φωτίζουσα μητρικῶς,
πορείας τοῦ βίου μου,
Παναγία Δέσποινα,
ὅπως σε δοξάζω,
κατὰ χρέος ἀνεξόφλητον.


ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

### *Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθείς.*

Τὴν ἐσομένην προκοπήν σου γνωρίζων,
ἠλίευσέ σε Ἰησοῦς φιλανθρώπως,
ὡς ἁλιέα πάνσοφον,
τὸν Παῦλον ἐφευρών·
ὅθεν καινουργήσας σου,
τὴν προσοῦσαν σοφίαν,
τῷ Ἁγίῳ Πνεύματι,
ποιμενάρχην Ἱππῶνος,
ἀνέδειξέ σε πλήρη ἀρετῶν,
ὦ Αὐγουστῖνε,
καὶ μέγαν διδάσκαλον.

### ***Ὁ Οἶκος***

Ἐθαυμαστώθη ἐπὶ σοὶ ἡ χάρις τοῦ Θεοῦ
μεγάλως θεῖε πάτερ,
καὶ ἀπὸ σκεύους ἀχρήστου πλάνης σε
ἀνέδειξε φωστῆρα
καὶ ποιμενάρχην Ἐκκλησίας ἄριστον.
Οἶδε γὰρ ὁ φιλόψυχος Σωτὴρ ἀείποτε τρόπους
πολλοὺς καὶ ἀφορμὰς ποικίλας,
δι᾽ ὧν πορίζεται πᾶσιν ἀνθρώποις εὔθετον
τὴν σωτηρίαν.
Ὅθεν ἡμεῖς οἱ ἐν τῇ ἱερᾷ Μάνδρᾳ σου ταύτῃ συναχθέντες,
πρὸς τὸν Νυμφίον τῶν ψυχῶν
ἀεί σε πρέσβυν προβαλλόμεθα,
ὡς ἔχοντές σε προστάτην θεῖον
καὶ μέγαν διδάσκαλον.

### *Τὸ Συναξάριον*

**Τῇ ΙΕ΄ τοῦ μηνὸς Ἰουνίου μνήμην ἐπιτελοῦμεν τῶν ἐν ἁγίοις πατρὸς ἡμῶν Αὐγουστίνου ἐπισκόπου Ἱππῶνος καὶ τῆς μητρὸς αὐτοῦ Μονίκης.**

*Στίχοι*

*Διπλῶς γεννήσασα υἱὸν Αὐγουστῖνον,*
*Σύγχαιρε τούτῳ, Μόνικα, Παραδείσῳ.*
*Πέμπτῃ δεκάτῃ τε υἱομητρία δακρύγονος τιμάσθω.*

καὶ τὰ λοιπὰ τοῦ Συναξαριστοῦ τῆς ἡμέρας

Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

*Ὠιδὴ ζ΄. Παῖδες ἑβραίων.*

Κήρυξ Θεοῦ φιλανθρωπίας,
ἀναδέδειξαι,
παμμάκαρ Αὐγουστῖνε,
ἐκ βυθοῦ ἀναχθείς,
τῆς τούτου ἀγνωσίας,
εἰς γνῶσιν θεοδίδακτον,
καὶ ἐπισκοπείας χάριν.

Ὅσα ἐφαίνοντό σοι πλοῦτος,
πρὸ τῆς Χάριτος,
ἀπέῤῥιψας ὡς κόνιν,
ἐνδυθεὶς τὸν Χριστόν,
θεόφρον Αὐγουστῖνε,
καὶ τοῦ Ἁγίου Πνεύματος,
πλουτισμὸν κληρονομήσας.

Ἴδε μητέρων φιλοστόργων,
μῆτερ Μόνικα,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

κλαυθμὸν ἀπελπισίας,
βλεπουσῶν εἰς ὁδούς,
τὰς ψυχοφθόρους τέκνα,
καὶ σὺν τῷ Αὐγουστίνῳ σου ,
δότε ταύταις τὴν ἐλπίδα.

*Θεοτοκίον*

Νοῦν μου ἀνάδειξον, Κυρία,
οἰκητήριον,
τῆς μνήμης τοῦ Υἱοῦ σου,
δι᾽ ἧς πᾶσαν ἐχθροῦ,
ἐπιδρομὴν διώκω,
καὶ τὴν αὐτοῦ ψυχόπικρον,
προσβολὴν καταγλυκαίνω.

*Ὠιδὴ η΄. Τὸν ἐν ὄρει ἁγίῳ.*

῾Ως τῆς πλάνης τὰς ἀτραποὺς βαδίσας,
καὶ τὸν ὄλεθρον,
αἱρέσεων ἐλέγξας,
Αὐγουστῖνε ἡμᾶς,
τῇ Ὀρθοδόξῳ πίστει,
στερέωσον πρεσβείαις σου,
σὺν Μονίκῃ τῇ μητρί σου.

Συρίγγί σου γλυκείᾳ ὁδηγήσας,
τὸ σὸν ποίμνιον,
θεόφρον Αὐγουστῖνε,
πρὸς τὴν ἄνω Σιών,
ὁδήγει φιλοτέκνως,
εἰς ποθητὰ σκηνώματα,
καὶ Μονῆς σου ἀσκουμένους.

῾Υπερλόγως ἐνήργησεν ἡ Χάρις,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τὸ μυστήριον,
ἐν σοὶ τῆς σωτηρίας,
φανεροῦσα Χριστοῦ,
πολλὴν φιλανθρωπίαν,
ἧς τύχοιμεν αἱ δοῦλαί σου,
Αὐγουστῖνε ἱεράρχα.

*Θεοτοκίον*

Μὴ ἐάσῃς  με μόνον ἐν τῷ βίῳ,
Παναμώμητε,
καὶ εὕρῃ ὁ ἐχθρός μου,
ἀλλὰ μένε ἀεί,
προστάτις μου καὶ φύλαξ,
φωτίζουσα εἰς πλήρωσιν,
ἐντολῶν θείου Υἱοῦ σου.

*Ὠιδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.*

Νικήσας τῇ δυνάμει τοῦ Ἰησοῦ,
Αὐγουστῖνε τὸ τρίπλοκον σύνδρομον,
κόσμον, σαὐτόν,
καὶ τὸν πολυμήχανον σατανᾶν,
εἰσῆλθες εἰς τὰ ἄδυτα,
θείας Πολιτείας διὰ παντός,
ὁρῶν τοῦ γλυκυτάτου,
Κυρίου θείαν ὄψιν,
ὡς ζῶν ἐπόθεις ὥσπερ ἔλαφος.

Ἡ θλῖψις καὶ τὸ ἄλγος τὸ μητρικόν,
εἰς χαρὰν μετεβλήθησαν, Μόνικα,
ὅτι ἰδού,
σπείρασα ἐν δάκρυσι προσευχάς,
νῦν ἔχεις Αὐγουστῖνόν σου,
σύνοικον ἁγίων  Ἱεραρχῶν,

καὶ θείων Διδασκάλων,
ἐκτρέφοντα πλουσίως,
τὴν Ἐκκλησίαν τοῖς συγγράμμασι.

Σφενδόνη θεοπνεύστων σου διδαχῶν,
καθελὼν τῶν αἱρέσεων φρύαγμα,
ἄλλος Δαβίδ,
ὤφθης, Αὐγουστῖνε χριστοφιλής,
διὸ καὶ τοὺς ἐγκύπτοντας,
ἐν ταῖς γλυκυτάταις σου συγγραφαῖς,
ἐνίσχυσον εἰς γνῶσιν,
τῶν θείων μυστηρίων,
καὶ σωτηρίας τὴν ἐπίτευξιν.

Ὡραία ἀνθοδέσμη μυρεψική,
ἐκ δακρύων ἁγίων συντέθειται,
καὶ τοὺς πιστούς,
κατευωδιάζει χαρμονικῶς,
Μόνικα ἡ πολύαθλος,
ἅμα Αὐγουστίνῳ γλυκεῖ υἱῷ,
διδάσκουσα τοὺς πάντας,
καρποὺς εὐχῆς ἐμπόνου
καὶ μετανοίας ὕψος ἄπειρον.

*Θεοτοκίον*

Αὐγαῖς σῶν χριστοδέκτων ἱκεσιῶν,
Αὐγουστίνου Μονὴν καταφώτισον,
Μῆτερ Ἁγνή,
καὶ ἁγιαστήριον τῶν ψυχῶν,
ταύτην δεῖξον εὐλίμενον,
ἔνθα οἱ θλιβόμενοι ἱλαράν,
εὑρίσκωσι γαλήνην,
καὶ τῆς Χριστοῦ ἀγάπης,
ἔχωσι πεῖραν καὶ ἀντίληψιν.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ἐξαποστειλάριον*

*Ἦχος β΄. Τοῖς Μαθηταῖς συνέλθωμεν.*

Ὅτε τοῦ Παύλου ἤκουσας,
τὴν χριστόφθογγον κλῆσιν,
ἰδοὺ καιρὸς εὐπρόσδεκτος,
Αὐγουστῖνε ἐξ ὕπνου,
ἠγέρθης τῆς ἀσωτείας,
τῶν εὐχῶν συνεργίᾳ,
Μονίκης σῆς γεννήτορος,
καὶ δακρύων ἐκβλύσει,
ὅθεν υἱός, τοῦ φωτὸς ἐδείχθης καὶ τῆς Ἱππῶνος,
ἁγίως ἐπεσκόπευσας,
Ἐκκλησίας εὐφράνας.

*καὶ τῆς προλαβούσης ἑορτῆς*

**ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ**

*Ψάλλομεν στιχηρὰ προσόμοια.*
*Ἦχος πλ.δ΄. Ὢ τοῦ παραδόξου θαύματος.*

Ὅτε ἡ Χάρις ἐκκέχυται,
τῇ σῇ ψυχῇ θαυμαστῶς,
Αὐγουστῖνε, κατέῤῥιψας,
πάντα τὰ ὑψώματα,
τὰ Θεοῦ σε χωρίζοντα,
καὶ ἐδουλώθης ὅλαις δυνάμεσι,
τῷ σταυρωθέντι Χριστῷ γενόμενος,
σκεῦος τοῦ Πνεύματος,
οὗ ταῖς ἐνηχήσεσιν λύρα τερπνή,
ὤφθης κιθαρίσασα,
τῆς μετανοίας καρπούς.
Υἱοῦ σου βλέπουσα ὄλισθον,

ταῖς τῶν δακρύων ῥοαῖς,
σὺν εὐχαῖς καὶ δεήσεσι
Μόνικα, τὸν Κύριον,
ἐν ἐλπίσιν ἱκέτευες·
ὅθεν λαβοῦσα τὸ ἐκζητούμενον,
κατηξιώθης ἰδεῖν τὸ τέκνον σου,
θεῖον διδάσκαλον,
καὶ ποιμένα ἄριστον,
μεθ᾽ οὗ τρυφᾶς,
τῆς ἀγαλλιάσεως τῆς Βασιλείας Χριστοῦ.

Τὰ τῆς ψυχῆς σου χαρίσματα,
κατεχωσμένα τὸ πρίν,
ἁμαρτίας καλύμματι,
Αὐγουστῖνε, δέδωκας,
ἀντιδώρως τῷ Κτίσαντι,
διὸ ἐδείχθης ποιμὴν φιλόθεος,
καὶ μυστηρίων Θεοῦ συμμέτοχος,
ταῖς ἀναβλύσεσιν,
ἱερῶν λογίων σου λαὸν Χριστοῦ,
καταρδεύων πάντοτε,
μνήμην τιμῶντά σε.

Ἵππος Θεοῦ ἀναδέδειξαι,
ταῖς διδαχῶν σου ὁπλαῖς,
διαλύων τὰ ἄχυρα,
πλάνης τῶν αἱρέσεων,
Αὐγουστῖνε πανθαύμαστε·
διὸ ἐν ὕμνοις καταγεραίρομεν,
σεπτήν σου μνήμην καὶ μακαρίζομεν,
τὴν σὲ γεννήσασαν,
Μόνικαν ἀοίδιμον,
μεθ᾽ ἧς Μονήν,
τὴν ὑμῶν φυλάττετε,
πάσης ἐχθροῦ προσβολῆς.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Δόξα. Ἦχος πλ.δ΄.*

Ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ἐκεῖ ὑπερεπερρίσευσεν ἡ Χάρις·
ὅθεν, Αὐγουστῖνε, τῇ ὑπερλόγῳ φιλανθρωπίᾳ τοῦ Δεσπότου καὶ σὺ
καταληφθείς, καὶ ἐκ σκότους ἀσωτείας εἰς αὐγασμὸν θεογνωσίας
διὰ Παύλου καθελκυσθείς,
ὑπερεδικαίωσας τὴν σωτήριον κλῆσίν σου.
Ποιμενάρχης δὲ Ἱππῶνος ἐξαίρετος ἀναδειχθείς,
ἐπλούτησας τὴν Ἐκκλησίαν τοῖς θεοσόφοις σου λόγοις καὶ
συγγράμμασι.
Διὸ μετὰ Μονίκης τῆς ἁγιωτάτης σου μητρός, πρεσβεύσατε δεόμεθα,
καὶ ἡμᾶς καταυγασθῆναι ὁλοτελῶς, ταῖς ζωηφόροις τοῦ Κυρίου
ἐλλάμψεσιν,
καὶ εὑρεῖν μερίδα ἐν τῷ φωτὶ τοῦ Προσώπου αὐτοῦ.

*Καὶ νῦν. Τῆς προλαβούσης ἑορτῆς.*

***Μεγαλυνάρια***

Χαίροις τῆς Ἱππῶνος ποιμὴν σοφέ,
θεῖε Αὐγουστῖνε,
σὺν Μονίκῃ τῇ σῇ μητρί·
σκέπετε πρεσβείαις Μονὴν ὑμῶν τὴν ὧδε,
καὶ ἀσκουμένους ταύτης,
διαφυλάττετε.

Ἐκ τῆς ἀγνωσίας τοῦ σκοτασμοῦ,
καὶ τῆς ἀσωτείας,
μετηνέχθης εἰς φωτισμόν,
πάτερ Αὐγουστῖνε,
γενόμενος σημεῖον,
Χριστοῦ φιλανθρωπίας,
τοῦ Ἐλεήμονος.

Ἔσπειρας ἐν δάκρυσι καὶ κλαυθμῷ,

Μόνικα, υἱοῦ σου,
ἐκζητοῦσα τὸν φωτισμόν·
ὅθεν νῦν ἀγάλλῃ,
ἐν τῇ Σιὼν τῇ ἄνω,
σὺν τούτῳ καθορῶσα,
Κυρίου πρόσωπον.

Ὢ!φιλανθρωπίας τοῦ Ἰησοῦ,
τοῦ θέλοντος σῶσαι,
γένος ἅπαν τὸ τῶν βροτῶν,
ἥτις Αὐγουστῖνον,
ἐκ λάκκου κατωτάτου,
ἐῤῥύσατο τῆς πλάνης,
καὶ καθηγίασε.

## *Στίχοι*

*Αὐγαῖς αὐγάζοις σὴν Μονὴν χριστοφώτοις,*
*Αὐγουστῖνε μέγιστε, ποιμὴν Ἱππῶνος.*

*Μονήν, Μόνικα, Πνεύματος Παναγίου,*
*παραμόνιμον δεῖξον, Μονὴν Δωρίδος.*



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ